78.

## *ΕΙ ΜΕΡΟΣ ΤΟ ΠΑΘΗΤΙΚΟΝ ΤΗΣ ΑΝΘΡΩΠΟΥ ΨΥΧΗΣ Η ΔΥΝΑΜΙΣ

**1.** Περὶ τῆς παθητικῆς καὶ ἀλόγου ζωῆς, πότερα μέρος ἐστὶ τῆς ἀνθρώπου ψυχῆς ἢ δύναμις, ἐπισκεπτέον. ἐοίκασι γὰρ τῶν ἀρχαίων οἱ μὲν οὕτως, οἱ δ' ἐκείνως ἀποφηνάμενοι περὶ αὐτῆς. ἄξιον οὖν καὶ ἡμᾶς ἀπορήσαντας καὶ ἐπὶ ζήτησιν τραπομένους ταύτῃ δοξάσαι, ᾗπερ δὴ καὶ ζητοῦσι φανεῖται πιθανώτερον.

**2.** Ὅσοι μὲν οὖν μέρος ἀποδιδόασιν αὐτήν, δόξαιεν ἂν οὐκ εἶναι λέγειν ἔμψυχα τὰ ἄλογα τῶν ζῴων οὐδὲ ψυχὴν ἔχοντα, ἀλλά τι μόριον ψυχῆς, εἴ γε τοῖς ἀλόγοις ἡ παθητικὴ μέν ἐστιν, ἡ λογικὴ δ' οὐδαμῶς· ὅσοι δ' αὖ δύναμιν, πρῶτον μὲν ἄτοπον ὅτι τῷ τόπῳ διαχωρίζουσιν ἀπὸ τῆς ἀντιδιαιρουμένης αὐτῇ δυνάμεως, τῆς λογικῆς· οὐ γὰρ διαιροῦνται ἀπ' ἀλλήλων αἱ δυνάμεις, ὅσαι τοῦ αὐτοῦ τυγχάνουσιν οὖσαι· ἔπειτα ⟨ὅτι⟩ καὶ συνυπάρχειν ποιοῦσι τἀναντία κατὰ ταὐτό. αἱ γὰρ δυνάμεις τοιαῦται ὥστε ἑκάστην, κἂν ὁποσαιοῦν ὦσι, περὶ ὅλον θεωρεῖσθαι τὸ ὑποκείμενον. τὸ δὲ λογικὸν καὶ τὸ ἄλογον οὐχ οὕτω περὶ ψυχήν· ἀποτέμνεσθαι γὰρ δοκεῖ τῆς ὅλης καὶ ποιεῖν